# *Leseübungen: Fabeln des Äsop (Aisopos)*

## 1. Der Hirte, der ein Kalb verliert, und der Löwe

Βουκόλος βόσκων ἀγέλην ἀπώλεσε μόσχον. περιελθὼν δὲ καὶ μὴ εὑρὼν ηὔξατο τῷ Διί, ἐὰν τὸν κλέπτην εὕρῃ, ἔριφον αὐτῷ θῦσαι. ἐλθὼν δὲ εἴς τινα δρυμῶνα καὶ θεασάμενος λέοντα κατεσθίοντα τὸν μόσχον περίφοβος γενόμενος ἐπάρας τὰς χεῖρας εἰς τὸν οὐρανὸν εἶπε· „Ζεῦ δέσποτα, πάλαι μέν σοι ηὐξάμην ἔριφον θῦσαι, ἂν τὸν κλέπτην εὕρω, νῦν δὲ ταῦρόν σοι θύσω, ἐὰν τὰς τοῦ κλέπτου χεῖρας ἐκφύγω.“

## 2. Die Mücke

Μυῖα ἐμπεσοῦσα εἰς χύτραν κρέως ἐπειδὴ ὑπὸ τοῦ ζωμοῦ ἀποπνίγεσθαι ἔμελλεν, ἔφη πρὸς ἑαυτήν· „ἀλλ’ ἔγωγε καὶ βέβρωκα καὶ πέπωκα καὶ λέλουμαι· ἐὰν ἀποθάνω, οὐδέν μοι μέλει.

## 3. Der Alte und der Tod

Γέρων ποτὲ ξύλα τεμὼν ἐξ ὄρους καὶ ἐπὶ τῶν ὤμων ἀράμενος ἐπειδὴ πολλὴν ὁδὸν ἠχθισμένος ἐβάδισεν, ἀπειρηκὼς ἀπέθετό τε τὰ ξύλα καὶ τὸν Θάνατον ἐλθεῖν ἐκαλεῖτο. τοῦ δὲ Θανάτου εὐθὺς ἐπιστάντος καὶ τὴν αἰτίαν πυνθανομένου, δι’ ἣν αὐτὸν καλοίη, ὁ γέρων ἔφη· „ἵνα τὸν φόρτον τοῦτον ἄρας ἐπιθῇς μοι.“

## 4. Der Esel und das Pferd.

Ἄνθρωπός τις εἶχεν ἵππον καὶ ὄνον. ὁδευόντων δὲ ἐν τῇ ὁδῷ εἶπεν ὁ ὄνος τῷ ἵππῳ· „ἆρον ἐκ τοῦ ἐμοῦ βάρους, εἰ θέλεις εἶναί με σῶν.“ ὁ δὲ οὐκ ἐπείσθη. ὁ δὲ ὄνος πεσὼν ἐκ τοῦ κόπου ἐτελεύτησεν. τοῦ δὲ δεσπότου πάντα ἐπιθέντος αὐτῷ καὶ αὐτὴν τὴν τοῦ ὄνου δορὰν θρηνῶν ὁ ἵππος ἐβόα· „οἴμοι τῷ παναθλίῳ. τί μοι συνέβη τῷ ταλαιπώρῳ; μὴ θελήσας γὰρ μικρὸν βάρος λαβεῖν ἰδοὺ ἅπαντα βαστάζω καὶ τὸ δέρμα.“